2.80 540. Κίλικας Παίων: οἱ μὲν τοὺς Κίλικας καὶ τοὺς Παίονας τοὺς αὐτοὺς ἤκουσαν. Ἀρίσταρχος δὲ Κόροιβον Παιόνων ἡγεμόνα 4. ἐκ τοῦ ὑποτμήματος εἰς τὸν ὑπερορίζοντα dicitur ab Suida s. v. Ἄρατος, Verba corrupta. ἐκ τοῦ intelligit Vaterus p. 200. ὑπὸ γῆν (vel τὴν γῆν) τμήματος ὑπὲρ ib. ἥλιον hic et paullo post in A. τὸν ὁρίζοντα L. Dindorfius in Thesauro usitata nota tachvgraphica scriptum, sauro vol. 8. p. 456. qua modo ἥλιος modo Ἀπόλλων 6. φικνούμεναι] ἀφικνούμενα A. significatur: v. Bast. Comm. paleogr. 8. ὥρας] φρουρᾶς Vaterus p. 200., leogr. p. 834. collato quod scholiasta supra dixit 18. γρ. τὰ προεκκείμενα] Significant τὰ πρῶτα σημεῖα τῆς φυλακῆς φησι cant ea verba: γράφε τὰ προεκκείμενα, ὥρας defendit Idelerus apud huc inserenda esse quae supra Veterum, monens signiferum in alieno loco essent apposita et pertinent duodecim signa (ζῴδια) sive viginti ad codicem, quem librarius quattuor horas dividi. describebat. COBET. 10. φυλακῆς] πέμπτης φυλακῆς Va. 20. Παίων—Παίονας] παιὼν—παιόνας A. 12. ἐσθίων (vel κείρων) addendum 21. τοὺς ante αὐτοὺς addidit Vaterus. esse vidit Cobetus. 13. Μενεκράτη] Menecratem Ephesium, ib. Κόροιβον Παιόνων ἡγεμόνα] Rephesium, qui Arati Solensis magister cessit in hoc Euripides ab Homero καὶ τὴν φυλακὴν ποτὲ μὲν ἀπὸ τοῦ ἡγεμόνος, ποτὲ δὲ ἀπὸ τῶν ὑπηκόων.

2.81 541. Μυσοὶ δ’ ἡμᾶς: ὡς Μυσῶν διαδεχομένων Κίλικας. Κίλικες γὰρ μετὰ Παίονας, εἶτα Μυσοὶ, εἶτα Τρῶες, εἶτα πέμπτοι Λύκιοι.

2.82 547. κοίτας φονίας: διὰ τὰ τολμηθέντα ἐπὶ τῷ Ἰτύλῳ· λείπει δὲ τὸ ὡς, ὡς ἐπὶ τοῦ Σιμόεντος ὑμνεῖ τὴν μίξιν, ἀίω. γράφεται καὶ θρηνεῖ καὶ ἔξωθεν λαμβάνεται ἡ ἐπί καὶ τὸ ὡς, ὡς ἐπὶ τοῦ Σιμόεντος ἑζομένη θρηνεῖ τὰς φονίας κοίτας ἡ ἀηδών.

2.83 550. μελοποιὸς ἀηδονίς: λέγεται γὰρ ἡ Πρόκνη μετὰ τὸ κρεανομεῖσθαι Ἴτυν τὸν υἱὸν διὰ τὴν λύπην μεταβληθῆναι εἰς ὄρνιν· καὶ ἡ μὲν Πρόκνη εἰς ἀηδόνα μετεβλήθη, ὡς καὶ ἡ Φιλομήλα εἰς χελιδόνα.

2.84 674. σκηπτοῦ πιόντος: πρὸς τὰ ναύσταθμα αἰφνιδίου κεραυνοῦ σφοδροῦ ἐπελθόντος.

2.85 675. ἔα ἔα: ὁ χορὸς λέγει αἴσθησιν λαβὼν τῶν γεγονότων.

2.86 631. ἀλλὰ συμμάχους: ἀλλὰ δεινὸν, φησὶ, τοὺς συμμάχους ταράττειν νυκτὸς οὔσης.

2.87 711. ὕπαφρον] ὕπαφρος ὁ μὴ φανερὸς, ἐκ μεταφορᾶς τῶν ὑπ’ ἀφρὸν νηχομένων, ἢ τῶν ὑφάλων πετρῶν αἷς ἐπανθεῖ ἀφρός· ἢ ὁ καταπληκτικὸς, ὁ μανικός. Fl. 2.

2.88 715. βίον δ’ ἐπαιτῶν: τροφὴν αἰτῶν.

2.89 716. ψαφαρόχρουν: τὸ χ ὅτι φαλακρὸν αὐτόν φησιν.

2.90 724. δυσοίζων: βλασφημῶν ἢ ὀργιζόμενος καὶ λοιδορῶν.

2.91 741. διόπων στρατιᾶς: τῶν φροντιστῶν καὶ ἐπιστατῶν.

2.92 766. πλῆκτρα: αἱ μάστιγες.

2.93 769. φαύλως: ἁπλῶς, ὡς ἔτυχεν.

2.94 785. αἱ δ’ ἔρεγχον: ἐκ τῶν μυκτήρων ποιὸν ἦχον ἀπετέλουν.

2.95

Eulogikon public reading copy · View original HTML at eulogikon.org

789. μυχθισμὸν νεκρῶν: ποιὸν ἦχον καὶ στεναγμὸν μετὰ πνοῆς γενόμενον.

2.96 790. τὸ ἑξῆς, θερμὸς δὲ κρουνὸς αἵματος νέου δεσπότου παρὰ σφαγαῖς δυσθνήσκοντος βάλλει με.

2.97 817. μαράγνα] οὕτως παροξύνει ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου. δηλοῖ δὲ τὴν μάστιγα. ἤτοι μαστίγων πλήγμασιν, ἢ τῷ καρατομηθῆναι. Fl. 2.

2.98 825. ἔβριξα: βρίξαι κυρίως τὸ μετὰ βορὰν ὀλίγον κοιμηθῆναι. Fl.2.

2.100 852. τίς δ’ ἂν χαμεύνας: τὸ ἑξῆς, τίς ἂν κατ’ εὐφρόνην τῶν πολεμίων μολὼν Ῥήσου χαμεύνας ἐξεῦρενς; .

2.100 855. ᾖσαν: ᾔδεισαν, ἐγίνωσκον.

2.101 859. ἐν σοὶ δ’ ἂν ἀρχοίμεσθα: ἀρχὴν ἔχομεν τοῦ κακολογεῖσθαι πρῶτον ὑπὸ σοῦ, ἢ σὺ ἡμᾶς πρῶτον ἤρξω κακηγορεῖν.

2.102 873. αὐθεντῶν: τῶν Τρώων· αὐτοὺς γὰρ ἐδόκει τοῦ Ῥήσου φονεῖς γενέσθαι. Fl. 2.

2.103 895. ἰαλέμῳ αὐθιγενεῖ: τῷ εὐθὺς γενομένῳ θρήνῳ. Gl. καὶ Ἀσκληπιάδης ἐν τοῖς τραγῳδουμένοις πλείους τῆς Καλλιόπης λέγει παῖδας ἐν τουτ... Καλλιόπῃ γὰρ τὸν Ἀπόλλωνα μιχθέντα γεννῆσαι Λίνον τὸν πρεσβύτατον καὶ τρεῖς μετ’ ἐκεῖνον, Ὑμέναιον, Ἰάλεμον, Ὀρφέα· τῷ δὲ νεωτάτῳ τὴν μὲν ἐπιθυμίαν ευμάτων 4. Hoc scholionetiam in Fl. 1. 2. 21. ἐν τοῖς τραγῳδουμένοις πλείους] 5. Interpretatio ποιὸν στεναγμὸν ἐν τ~... περὶ δουλ... πλείους A. Correxit est etiam in Fl. 1. 2. rexit Hermannus Opusc. vol. 5. 7. παρὰ σφαγαῖς] παρασφαγαῖς A. p. 192. collato schol. Pindari Pyth. 9. Ἡρωδιανὸς] Non legitur haec 4, 313. καὶ Ἀσκληπιάδης ἐν ἕκτῳ τραγῳδουμένων notatio in Arcadii Epitome p. 96, γῳδουμένων ἱστορεῖ Ἀπόλλωνος καὶ Καλλιόπης 22. ubi de nominibus in να agitur. λιόπης Ὑμέναιον, Ἰάλεμον, Ὀρφέα. Cf. 12. κυρίως addidi ex Harl. qui κυρίον. etiam schol. Apoll. Rh. 1, 23. 13. τίς δ’ ἂν] τίς δ’ αὖ A. 22. ἐν τουτ...] Non satisfacit 14. χαμεύνας ἐξεῦρεν Vaterus. χαμευν... Vateri correctio ἐν τούτοις. μευν...εῦρεν A. ib. γεννῆσαι Λίνον τὸν πρεσβύτατον] 15. In Fl. 2. est gl. ἠπίσταντο. γεν... λιν... τὸν πρεσβύτερον A. 16. ἀρχὴν ἔχομεν τοῦ—ὑπὸ σοῦ, ἡ Correxit Hermannus. σὺ Vaterus. ἀρχὴν... τοῦ—ὑπὸ...σὺ 23. Ἰάλεμον addidit Hermanus. In A. lacuna. 17. κακηγορεῖν] κατηροπ... A. 24. νεωτάτῳ Hermannus. νεωτέρῳ ἐμπεσεῖν. καὶ περὶ τὴν μουσικὴν πάντων, οὐ μὴν τοιοῦτό γε πάθος γενέσθαι. Ἄλλως. ἰαλέμῳ: φασὶ τὸν ἰάλεμον παρωνομάσθαι ἐπὶ τιμῇ Ἰαλέμου τοῦ Ἀπόλλωνος καὶ Καλλιόπης, ὥς φησι Πίνδαρος, ἔντι μὲν χρυσαλακάτου τεκέων Λατοῦς, ἀοιδαὶ ὥριαι παιανίδες· ἔντι ελλοντες ἐκισῦ στέφανον ἐκ διο αιόμεναι· τὸ δὲ κοιμίσαν τρ σώματ’ ἀποφθιμένων, ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὕμνει, δ’ Ὑμέναιον, ὃν ἐν γάμοισι χροϊζόμενον σὺμ πρῶτον λάβεν ἐσχάτοις ὕμνοισιν, ἁ δ’ Ἰάλεμον ὠμοβόρῳ νούσῳ πεδαθέντα σθένος υἱὸν Οἰάγρου.

2.1 1. ΒΑΘΙ πρὸς εὐνάς: βᾶθι ἀντὶ τοῦ βῶμεν. βᾶθι πρὸς εὐνὰς, ὡς πλησίον γενόμενοι τῶν κοιτῶν τοῦτό φασιν.—οἱ φύλακες ἐν χοροῦ σχήματι παρακελεύονται ἑαυτοῖς.

2.2 2. τὶς ὑπασπιστῶν: ὁ ὑπασπιστὴς ἴδιον ὄνομα, σύνεγγυς παρασπίζων τοῦ βασιλέως· ὁ γὰρ τευχοφόρος κοινὸς παντὸς ὁπλίτου.

2.5 5. οἳ τετράμοιρον: ὅτι οἱ ἀρχαῖοι εἰς τρεῖς φυλακὰς νέμουσι τὴν νύκτα. Ὅμηρος ἀλλ̓ ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ’ ἄστρα βεβήκει. Στησίχορον δὲ καὶ Σιμωνίδην πενταφύλακόν φησιν ὑποτίθεσθαι τὴν νύκτα. διαπορήσει δέ τις ὅπως “οἳ τετράμοιρον νυκτὸς φυλακήν,” πρὸς ὃ ῥητέον ὅτι οὐκ ἐν τῷ καθόλου φησὶ τετραφύλακον, ἀλλὰ τὴν ἐν τῷ παρόντι φυλακὴν, ὡσανεὶ πρώτην ἢ δευτέραν. ὁ δὲ Κράτης δείκνυσιν ὅτι κατὰ τὸν Εὐριπίδην πενταφύλακον ἐκτίθησι τὰ ὑπ’ αὐτοῦ εἰρημένα τίς ἐκηρύχθη πρώτην φυλακήν, 4. γενόμενοι] γενομένων A. ib. φησιν] Si

Eulogikon public reading copy · View original HTML at eulogikon.org

recte sic scriptum, 5. ἑαυτοῖς Vaterus. ἑαυτούς A. grammaticus intelligendus cujus 6, 7. est etiam in Fl. 2. sic scriptum, sententiam excerpsit scholiasta. ὑπασπιστὴς ἰδίως ὁ παρασπίζων τῷ Sed multo probabilius φασιν corrigitur. βασιλεῖ, τευχοφόρος δὲ κοινὸς ἦν παντὸς Nulla in hac re codicum ὁπλίτου. auctoritas. 9. Ὅμηρος] Od. 14, 483. δὲ post 12. διαπορήσει δέ τις] Aptius διαπορήσαι Ὅμηρος delevit Kampmannus. (vel διαπορήσειε) δ̕ ἄν τις. 10. βεβήκει] βέβηκε A. ib. Post ὅπως aliquid excidisse 11. Στησίχορον δὲ καὶ Σιμωνίδην vidit Colet. Addendum φησίν, nisi Cobetus. στησι δὲ ὁ σιμωνίδης A. plura desiderantur. ib. et 15. πενταφύλακον] Forma 15. πενταφύλακον] πενταφυ A. recentior pro πεντεφύλακον. 16. εἰρημένα] v. 538. καὶ τὰ ἑξῆς. πρώτους γὰρ τοὺς περὶ Κόροιβόν φησι φυλάττειν, δευτέρους δὲ Παίονας, τρίτους δὲ Κίλικας, οὓς καὶ Μυσούς φησιν ὁμοεθνεῖς νομίζων. παραγειτνιᾷ γὰρ ὁ Ἀδραμυττηνὸς κόλπος τοῖς Μυσοῖς. παρὰ δὲ Μυσῶν αὐτοὺς τοὺς Τρῶας παραλαβεῖν, πέμπτος δὲ τοῖς Λυκίοις φησὶν ἐπιβάλλειν τὴν φυλακὴν, ὥστε οἱ τετάρτην μοῖραν φρουροῦντες ἐν ἀρχῇ φασιν οἳ τετράμοιρον νυκτὸς φυλακήν. ὁ δὲ Κράτης εὐχερῶς δείκνυσι τοὺς Μυσοὺς τοὺς αὐτοὺς τοῖς Κίλιξι· φάσκων εἶναι. κεχωρισμένοι γὰρ ἀλλήλων εἰσὶν, ὡς καὶ Ὅμηρός φησι Μυσῶν τ᾽ ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν. ἡ μὲν γὰρ Κιλικία ἐν τοῖς ἔμπροσθεν μέρεσι τῆς Τροίας κεῖται, ὁ δὲ Ζεὺς ἀπεστραμμένος ὁρᾷ Μυσούς. οἱ γὰρ τραγικοὶ Κίλικας οὐκ ἴσασι τούτους, ἀλλὰ τοὺς ἐν Ταύρῳ ᾠκηκότας. πῶς οὖν τῶν δύο ἐθνῶν μία ἦν ἡ φυλακή: ἄμεινον οὖν νοεῖν ὅτι Παιόνων ὁ Κόροιβος ἦρχεν, οἵτινες τὴν πρώτην φυλακὴν ἔσχον καὶ παραδεδώκασι τὴν δευτέραν τοῖς Κίλιξιν, ἐξ ὧν ἐπιφέρουσιν οἱ Τρῶες “Μυσοὶ δ᾽ ἡμᾶς,” δῆλον ὅτι οἱ Μυσοὶ τὴν τρίτην φυλακὴν εἶχον, μεθ᾽ οὓς οἱ Τρῶες τὴν τετάρτην. διό φασιν οἳ τετράμοιρον νυκτὸς φυλακὴν, οἵτινες τοὺς Λυκίους πέμπτους ἐγείρουσιν. Ἄλλως. τετράμοιρον: τὴν τετάρτην μοῖραν τῶν φυλακῶν οἱ Τρῶες εἶχον. ὁ δὲ πᾶς λόγος τοιοῦτός ἐστι δέξασθε παρ᾽ ἡμῶν, φησὶ, τὴν νέαν καὶ πρόσφατον κληδόνα, οἵτινες φυλάσσοντες τὴν τετάρτην φυλακὴν προκαθήμεθα: Παρ᾽ Ὁμήρῳ ὀρθωθεὶς δ᾽ ἄρ᾽ ἐπ᾽ ἀγκῶνος κεφαλὴν ἐπαείρας.

2.8 8. λῦσον βλεφάρων: ἀντὶ τοῦ διυπνίσθητι. γοργωπὸν δὲ τὴν φοβερὰν καὶ καταπληκτικήν.

2.33 28. ἢ τὸν Εὐρώπας: παρ᾽ Ὁμήρῳ πρὸς ὄρεσιν Εὐρώπης εἶναι τὸν Σαρπηδόνα. ὁ δὲ Ἡσίοδος Εὐρώπης μέν φησιν αὐτὸν, ὡς Ἑλλάνικος, εἰσὶ δὲ οἳ Λυκάστου καὶ Ἴδης τῆς Κορύβαντος γενεαλογοῦσι μετὰ καὶ Μίνωος καὶ Ῥαδαμάνθυος, καθάπερ Σωκράτης ἐν τοῖς Ἀργολικοῖς. ἔχει δὲ ὁ λόγος τὸ ἕτερον εἶναι Σαρπηδόνα τὸν ἐπὶ τὴν Ἴλιον στρατεύσαντα καὶ ἄλλον τινὰ Θρᾷκα, ἀφ᾽ οὗ Σαρπηδονίαν πέτραν φασὶν ὠνομάσθαι. διττὰς δὲ τὰς Εὐρώπας ἀναγράφουσιν ἔνιοι· μίαν μὲν Ὠκεανίδα, ἀφ᾽ ἧς καὶ τὸ ἓν μέρος τῆς οἰκουμένης κληθῆναι, καθάπερ Ἀπίων ἐν τοῖς περὶ ἐπωνύμων καὶ Ἀριστοτέλης ἐν πρώτῳ τῆς Θεογονίας, ἑτέραν δὲ Φοίνικος ἔνιοι καὶ Ἀγήνορος, ὡς καὶ Εὐριπίδης καὶ ἄλλοι ἱστοροῦσιν, ἧς τοὺς περὶ τὸν Μίνω γενέσθαι φασίν. ἔνιοι δέ εἰσιν οἳ καὶ παρὰ τὴν αὐτὴν ὠνομάσθαι τὴν ἤπειρον, καθάπερ καὶ Καλλίμαχος, Ζηνόδοτος δὲ ἐξ αὐτοῦ. εἰσὶ δὲ οἱ καὶ τρίτην ἀναγράψαντες, καθάπερ Ἡγήσιππος ἐν τοῖς Παλληνιακοῖς γράφων οὕτως “Κάδμος σὺν τῇ μητρὶ τῆς Εὐρώπης Τηλεφάῃ ἐπῄει 1. βλεφάρων] βλέφαρον A.: sed in quam Aristotelis Θεογονία. Alia quae textu βλεφάρων. memorantur Apionis fragmenta 3. πρὸς ὄρεσιν corruptum. οὐχ εὗρεν collecta ab Muellero vol. 3. p. 506. Vaterus. 4. Ἑλλάνικος] ἑλλανικὸς A. Omisit 12. Φοίνικος ἔνιοι καὶ Vaterus. φοινικ fragmentum Muellerus. . . . . καὶ A. 5. Λυκάστου Vaterus. λευκάστου A. 13. ἧς τοὺς Vaterus. καὶ τοῦ A. Λύκαστος duarum urbium fluviique 14. ὠνομάσθαι] Intelligendum nomen aliunde cognitum: nomen φασὶ ex verbis proxime praecedentibus. hominis ex uno hoc loco. tibus. Sic infra ad v. 248. εἰσὶ δὲ 6. Σωκοάτης] Intelligendus Socrates οἱ Τηλέφῳ γενέσθαι τὸν χρησμὸν τοῦτον, Argivus, cujus fragmenta ui pariter praecessit φασί. Conf. collegit Muellerus vol. 4. p. 496. — etiam annot. ad schol. Troad. 31 499. hoc tamen omisso. Neque 221. ejue Ἀργολικὰ aliunde cognita, nisi 15. ἐξ

αὐτοῦ] Defecta vel corrupta. quod Περιήγησιν Ἄργους ab eo scriptam 16. Ἡγήσιππος] Hoc quoque fragmentum esse annotavit Diogenes L. 2, addendum Muelleri collectioni 47. quod opus non diversum ab vol. 4. p. 423. illo esse videtur. 17. Εὐρώπης Τηλεφάνῃ ἐπήει Vaterus. 7. τὸ ἕτερον] τὸ fortasse delendum. εὐρώπ . . τηλεφάνη ἐπίει A. Recte correxit Vaterus, nisi quod Τηλεφάῃ 10, ἧς Vaterus. οὗ A. scribere debebat: de quo dixit 11. Ἀπίων ἐν τοῖς περὶ ἐπωνύμων] L. Dindorfius in Thesauro vol. 7. Opus aliunde non magis cognitum p. 2137. περὶ Ἀθήνας καὶ ἐπυνθάνετο Εὐρώπην ἔχεσθαι ἐν Θράκῃ καὶ οὕτως ἀφίκετο εἰς τὴν καταντιπέραν ἤπειρον καὶ ἦρχεν ἐν τῇ χώρᾳ ταύτῃ πάντων. Εὐρώπη τοῦ ἀνδρὸς ἀπολειφθεῖσα οὐχ ἡ Φοίνικος, ἀλλ' ἐπιχωρία τις γυνὴ, ἀφ' ἧς καὶ ἡ ἤπειρος ἅπασα ἡ πρὸς Βορέαν ἄνεμον Εὐρώπη κέκληται." .

2.33 33. κερόδετα: τὰ κερουλκὰ, τὰ ὑπὸ κεράτων δεδεμένα. Fl. 2.

2.41 36. ἀλλ' ἡ Κρονίου Πανός: τὸν Πᾶνα οἱ μὲν Πηνελόπης φασὶ Καλλιστοῦς καὶ δύο παῖδας γενομένους, ἀφ' ἧς ὄρος Κυλλήνης, ἄλλοι δὲ Ἀπόλλωνος καὶ Πηνελόπης, ὡς καὶ Εὐφορίων, ὃν ἔθρεψαν νύμφαι· διὸ καὶ νυμφαγν αὐτόν φησι, τραφέντα παῤ ἐκείναις. Ἀρίαιθος δὲ ὁ Τεγεάτης Αἰθέρος αὐτὸν καὶ νύμφης Οἰνόης γενεαλογεῖ. ἔνιοι δὲ Ὀρσινόης νύμφης καὶ Ἑρμοῦ. Ἐπιμενίδης δὲ 1. περὶ] πρὸς Kampmannus. 8, 17, 1. cf. Boeckh. Explic. Pindar. ib. ἔχεσθαι Vaterus. εχ. . . . A. p. 160. VATER. 2. τὴν κατ' ἀντιπέραν Vaterus. τὸν 9. Ἀπόλλωνος καὶ Πηνελόπης] Sic κατ' ἀντιπέραν A. etiam Pindarus Fragm. 68. p. 594. 7. Πηνελόπης — Κυλλήνης (κυλήνης Alii pro Apolline Mercurium nominant: A.)] Verba non integra. Collato de quo dixit Meinek. ad schol. Theocriti 1. 123. dubitari Euphor. in Anal. Alexand. p. 158. potest an scripserit scholiasta, τὸν 10. νυμφαγν. . . .] Non sufficiunt Πᾶνα οἱ μὲν Πηνελόπης καὶ Ὀδυσσέως criticorum conjecturae νυμφάγνητον, ἢ Ἑρμοῦ φασιν, οἱ δὲ Καλλιστοῦς καὶ νυμφαγενῆ, νυμφαγενέτην. Διὸς, καὶ δύο παῖδας γενομένους Πᾶνα 11. Ἀρίαιθος Vaterus. ἀρῆθος A. καὶ Ἀρκάδα, μίαν δὲ θυγατέρα Κυλλήνην, Narratio sumta ex Ariaethi Ἀρκαδικοῖς, ἀφ' ἧς τὸ ὄρος Κυλλήνης. A Cyllene quorum pauca quae supersunt enim aliqua multi monti nomen fragmenta collegit Muellerus inditum esse tradiderunt. vol. 4. p. 318. 319. Schol. Eurip. Orest. 1642. γυναῖκα ib. Αἰθέρος— Οἰνόης] Schol. Theocr. ἀγαγόμενος (Πελασγὸς) ἐπιχωρίαν 1, 121. τὸν δὲ Πᾶνα οἱ μὲν Πηνελόπης Κυλλήνην, ἀφ' ἧς τὸ ὄρος οὕτω καλεῖται, καὶ Ὀδυσσέως, ἢ Ἑρμοῦ, ἄλλοι δὲ Διὸς υἱὸν ἔσχε Λυκάονα. Dionys. A. R. 1, καὶ Καλλιστοῦς, ἕτεροι δὲ Οἰνηΐδος, ἢ 13. ex Pherecyde, Πελασγοῦ καὶ Νηρηΐδος (verba ἢ Νηρηίδος, quae sunt Δηϊανείρας γίγνεται Λυκάων. οὗτος γαμεῖ diversa lectio praecedentis Οἰνηΐδος Κυλλήνην, Νηΐδα νύμφην, ἀφ' ἧς τὸ recte delet Jacobsius), ἔνιοι δὲ Οὐρανοῦ ὄρος ἡ Κυλλήνη καλεῖται. Conf. Eustath. καὶ Γῆς. et ad 1, 3. τὸν Πᾶνα οἱ stath. ad Od. Ω. p. 1951. Il. B. p. μὲν λέγουσιν υἱὸν Πηνελόπης καὶ πάντων 300. Igitur quamvis nemo Cyllenen τῶν μνηστήρων καὶ διὰ τοῦτο λέγεσθαι Callistus filiam dixerit, non verisimilitudine καὶ Πᾶνα. Ἐπιμενίδης δὲ ἐν τοῖς ποιήμασιν caret iliam Callistus αὐτοῦ Διὸς καὶ Καλλιστοῦς Πᾶνα eodem quo mater ejus vocabatur καὶ Ἀρκάδα διδύμους. Ἀρίστιππος δὲ nomine nuncupatam esse. Pausanias ἐν τῷ Ἀρκαδικῷ (scribendum ἐν τῷ ά constanter ab heroe Cyllene, Ἀρκαδικῶν cum Toupio) Διὸς καὶ Elati filio, hunc montem nomen νύμφης Οἰνηΐδος (var. lect οἰνοηΐδος). traxisse prodidit: vid. 8, 4, 4. et 6. 12. Ὀρσινόης] Ita appellatam esse Καλλιστοῦς καὶ Διὸς παῖδας γεγενῆσθαι Πᾶνα καὶ Ἀρκάδα διδύμους. Μνασέας δὲ ξενικώτερον ἀφηγεῖται τὰ περὶ Πᾶνα, ἢ ὅτι Κρόνου παῖς ἢ ὅτι παλαιός ἐστιν, Αἰθέρος γενεαλογούμενος, (Κρόνους δὲ καὶ Κρονίους τοὺς πάνυ ἀρχαίους ἔλεγον,) ἢ παππωνυμικῶς, ὅτι Διὸς, ὡς τὸν Ἀχιλλέα Αἰακίδην. Αἰσχύλος δὲ δύο Πᾶνας, τὸν μὲν Διὸς. ὃν καὶ δίδυμον, τὸν δὲ Κρόνου. περὶ δὲ τῶν αἰφνιδίων φόβων ταραχὴν ἀνῆψαν Πανὶ διὰ τοὺς ἤχους τοὺς ἐν τοῖς ὄρεσι γενομένους, ἔνθα ὁ Πὰν ἅμα ταῖς νύμφαις συρίζει, ὡς καὶ Ὀδυσσεύς· ὥστε με κουράων ἀμφήλυθε θῆλυς ἀϋτὴ, νυμφάων, αἳ ἔχουσ' ὀρεων αἰπεινὰ κάρηνα. propter τὰ Πανικὰ

κινήματα conjicit ap. Welcker. Mythol. vol. 2. Welckerus in libro de cyclo epico p. 659. p. 323. Hinc apud Pausaniam 8, 4. δὲ] γὰρ Mueller. Fragm. Hist. 30, 3. ubi legitur, καὶ ἄγαλμα Πανὸς vol. 3. p. 151. λίθου πεποιημένον, ἐπίκλησις δὲ Σινόεις 5. Ἀχιλλέα (ἀχιλέα A.) Αἰακίδην] ἐστὶν αὐτῶ, τήν τε ἐπίκλησιν γενέσθαι λέγουσιν addit Muellerus. τῷ Πανὶ ἀπὸ νύμφης Σινόης λέγουσι, ib. δύο] λέγει addit Nampmannus. ταύτην δὲ σὺν ἄλλαις τῶν νυμφῶν Id Aeschylum in Glauco Pontio καὶ ἰδίᾳ γενέσθαι τροφὸν τοῦ Πανός, fecisse colligi potest ex scholio ad scribendum videri posset Ὀρσινόεις Theocr. 4, 62. τοὺς Σατύρους ἀκρατεῖς et Ὀρσινόης, nisi probabilius esset οἱ πλείονές φασιν, ὡς καὶ τοὺς Οἰνάεις et Οἰνόης, quod Siebelisius Σειληνοὺς καὶ τοὺς Πᾶνας, ὡς Αἰσχύλος restituit, secundum famam vulgarem. μὲν ἐν Γλαύκῳ, Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ. Libri quidam συνόεις et συνόης. μέδᾳ. ib. Ἐπιμενίδης] Cum his pugnant 6. ὃν καὶ] Ἀρκάδος Vaterus p. 86. ea quae de Pane, Epimenide auctore, ib. Κρόνου] Hanc genealogiam tradit Eratosthenes qui dicitur Ioannes Lydus de mens. profert Cataster. 27. et schol. Germanici 4, 74. p. 274. τινὲς δέ φασι τὸν Πᾶνα 285. et Epimenidis nomine ἐκ Κρόνου καὶ Ῥέας γενέσθαι ἀντὶ τοῦ omisso Hygin. Poet. Astron. 2, 28. ἐκ τοῦ νοῦ καὶ τῆς ὑγρᾶς οὐσίας. ubi Quum vero ab Eratosthene vocetur quae confert Roetherus ejusdem Ἐπιμενίδης ὁ τὰ Κρητικὰ ἱστορῶν, monetae sunt. VATER. p. 86. utrumque auctorem diversum esse ib. αἰφνιδίων φόβων Vaterus. ἀφνιδίων dixerim. VATER. p. 89. φόβον A. Forma αἰφνιδίων in 1. παῖδας] παῖδα A. sermone grammatici probabilior ib. Πᾶνα καὶ Ἀρκάδα] πᾶνα—καὶ quam ἀφνιδίων. Et αἰφνιδίου est in ἀρκάδω A. apud Amatium. Si quid scholio v. 674. Recte scriptum in excidit, scribendum Πᾶνά τε καὶ excerpto cod. Fl. 2. τοὺς αἰφνιδίους Ἀρκάδα. φόβους ἀνῆψαν τῷ Πανὶ, σφοδροὺς ὄντας 2. Μνασέας] μνασίας A. Intelligendus καὶ ἐκπληκτικούς. γίνονται δὲ ἐν τοῖς gendus Mnaseas Petrensis in Περιηγήσει ὄρεσιν, ἐν οἷς πολλῶν φωνῶν φερομένων Εὐρώπης, ut apparet ex schol. διὰ τὰς ἐν αὐτοῖς κοιλότητας, πτοοῦνται Theocr. 1, 64. Μνασέας ἐν τῷ περὶ οἱ ἀκροώμενοι μὴ ὁρῶντες τοὺς φωνοῦντας. Εὐρώπης Πανὸς υἱόν φησι Βουκολίωνα. 8. Ὀδυσσεῦς] Apud Homerum 3. παλαιός ἐστιν] παλαιότερος Brunnius Od. 6, 122. Ἄλλως. περὶ τῶν Πανικῶν λεγομένων κινημάτων Ἀπολλόδωρος τὴν αἰτίαν ἐκτίθησι ταύτην· “τὰ ὄρη καὶ αἱ νάπαι καὶ πάντα τὰ ὕπαντρα τῶν ὀρῶν ἐστιν ἠχώδη, ποικίλων καὶ παντοδαπῶν φωνῶν ἐν τοῖς ὄρεσι γινομένων ὑπό τε κυνηγῶν καὶ ζώων ἡμέρων τε καὶ ἀγρίων· ἦχοι δὲ μιμητικοὶ γίνονται τούτων. ὅθεν πολλάκις τινὲς τὰ μὲν σώματα τῶν φωνούντων οὐχ ὁρῶντες, αὐτὴν δὲ μόνην τὴν προσπίπτουσαν φωνὴν, φασὶ Πᾶνα σὺν ταῖς νύμφαις ἐν τοῖς ἄντροις μετ᾽αὐλῶν καὶ συρίγγων φωνεῖν.” .

2.41 41. χ πυραίθει στρατὸς Ἀργόλας: τὸ χ ὅτι συνθέτως ἀναγνωστέον καὶ ὅτι οὐκ ἔστιν Εὐριπίδου ὁ στίχος.

2.43 43. διιπετῆ δὲ νεῶν: τὰ δὲ ναύσταθμα ὡς διιπετῆ ἐστι τοῖς πυρσοῖς. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· αἱ τῶν νεῶν ἐπαύλεις συνεχῶς ταῖς λαμπάσιν, ὥσπερ ἐκ Διὸς συνεχὴς ὄμβρος.

2.52 52. εἰς καιρὸν ἦλθες: ἀκολούθως καὶ εὐκαίρως ἦλθες, εἰ καὶ φόβον ἀγγέλλεις.

2.55 55. σαίνει μ’ ἔννυχος: εὐθυμεῖν με ποιεῖ ἡ τῶν Ἑλλήνων φρυκτωρία. φρυκτωρία δὲ ἡ λαμπὰς ἢ λαμπαδηφορία καὶ δᾳδουχία.

2.58 58. σύρδην: ὁμοῦ, ἄρδην.

2.68 68. θυοσκόων: τῶν μάντεων τῶν ἐκ τῶν θυμάτων τὸ μέλλον σκοπούντων.

2.84 84. ἁπλοῦς: σύντομος. Gl. τὸ ἑξῆς, ἁπλοῦς μῦθος, ἐπ’ ἐχθροῖς ὁπλίζειν χέρα.

2.105 105. εἴθ᾽ ἦσθ’ ἀνὴρ εὔβουλος: ἔμπαλιν ὁ Σοφοκλῆς φησιν εἴθ’ ἦσθα σώφρων ἔργα τοῖς λόγοις ἴσα.

2.109

Eulogikon public reading copy · View original HTML at eulogikon.org

109. ἐξήρθης: ἀνεπτερώθης, ἠγέρθης. τὸ ἑξῆς· ὅστις πυρὸς λαμπτῆρας κλύων ἐξήρθης Ἀχαιοὺς φεύγειν καὶ ἐξῆλθες ἐπὶ τὸ στρατεῦσαι.

2.158 158. ἐπώνυμος μὲν κάρτα: ἐτυμολογεῖ τὸ ὄνομα.

2.165 165. τάξαι δὲ μισθόν: γελοῖον τὸ οἴεσθαι ὅτι βασιλείαν αἰτήσει.

2.185 177. ἀποινᾶσθαι θέλεις: ἄποινα λέγεται τὰ λύτρα. Ὅμηρος "ἔλυσεν ἀποίνων." τίνα οὖν, φησὶ, τῶν Ἀχαιῶν λύτρα λαβὼν βούλει ἀπολῦσαι; .

2.207 185. ἀφθίτων γὰρ: παῤ Ὁμήρου ἔλαβε τὴν ἱστορίαν. φησὶ γὰρ "ἀθάνατοί τε γάρ εἰσιν." .

2.207 207. σαγή: ἡ σαγὴ ὀξυτόνως. Ἡρωδιανός.

2.210 210. βάσιν τε χερσί: ἀπίθανον τετραποδίζειν αὐτὸν ὡς τοὺς λύκους· οὐδὲ γὰρ Ὅμηρος διὰ τοῦτο τὴν λυκείαν αὐτῷ περιτίθησιν.

2.219 219. σωθήσομαί τε: τὸ ἑξῆς, σωθήσομαι καὶ κτανὼν Ὀδυσσέως ἢ Διομήδους κεφαλὴν ἥξω ἄγων.

2.224 224. Θυμβραῖε καὶ Δάλιε: ἀπὸ τῶν Τρωϊκῶν χωρῶν τὰ ὀνόματα.

2.240 240. τάς: ὅτι θηλυκῶς. Ὅμηρος "Ξάνθον καὶ Βαλίον καὶ Ποσειδάων ἔποῤ αὐτούς." διὸ τὸ χ.

2.245 245. τὸ ἑξῆς τοῦ νοῦ· ὄντως σπανία τῶν ἀγαθῶν γίνεται, ὅταν ὡς ἐν πελάγει τὸ τῆς καταδύσεως δυσήλιον ᾖ καὶ ζοφῶδες καὶ σαλεύῃ πόλις.

2.247 247. ἔστι Φρυγῶν τις: ἐπεὶ κεκωμῴδηνται οἱ Φρύγες ὡς δειλοὶ, φησὶν ὅτι οὐ δεῖ παντελῶς ἀποδοκιμάζειν τοὺς Φρύγας· ἔστι γὰρ ἐν αὐτοῖς θράσος καὶ ἰσχὺς, ὡς ἔδειξεν ὁ Δόλων.

2.248 248. ἔνι δὲ θράσος ἐν αἰχμᾷ: τῆς "ἔσχατος Μυσῶν" παροιμίας μέμνηται Φιλήμων ἐν Σικελικῷ τὸ δὴ λεγόμενον τοῦτο, Μυσῶν ἔσχατον ἐνόμιζ᾽ ὁρᾶν τὸν υἱὸν ἐκπλέονθ᾽ ὁρῶν. καὶ Μένανδρος εἰ μὴ γαμεῖς γὰρ, ἔσχατον νόμιζέ με Μυσῶν. κέχρηται δὲ καὶ νῦν Εὐριπίδης τῇ παροιμίᾳ παρὰ τοὺς χρόνους. Δήμων γοῦν ἐξηγούμενος περὶ αὐτῆς φησιν ὡς ὕστερον τῶν Τρωϊκῶν λοιμοῦ καὶ φθορᾶς καρποῦ περιεληλυθυίας τὴν Ἑλλάδα μαντευομένοις περὶ τῶν παρόντων χρῆσαι τὴν Πυθίαν τηνικαῦτα παῦλαν αὐτοῖς Achillis commemorantur, non equae, 7. ἔσχατος L. Dindorfius. ἐσχάτης quare hic versus ἐκεχίαστο in A. scholiis. VATER. Si constare 8. Σικελικῷ L. Dindorfius. σκελετῷ sibi voluit poeta, etiam v. 187. A. scribere debuit quod est in A. δίδωσι 10. ἐνόμιζ᾽Cobetus. ἐνόμιζεν A. δ᾽ αὐτὰς πωλοδαμνήσας ἄναξ Πηλεῖ 13. Μυσῶν l.. Dindorfius. φρυγῶν Ποσειδῶν, non αὐτοὺς, quod vulgo γῶν μυσῶν A. legitur. Scholiasta autem fortasse 15. Δήμων] De Demone, proverbiorum scripserat ὅτι θηλυκῶς τὰς ἵππους ἔφη. interprete, dixit Schneidew. In proximis verbis, fortasse librarii Praef. ad Paroemiogr. vol. 1. culpa, duo confusi loci Homeri, p. viii. Eodem, ut conjicere licet, alter Il. 16, 149. Ξάνθον καὶ Βαλίον, loco de proverbio Μυσῶν λεία Demo alter 23, 277. ἀθάνατοί τε γάρ εἰσι· dixerat: vid. Harpocrat. s. v. Μυσῶν Ποσειδάων δ᾽ ἔποῤ αὐτοὺς πατρὶ ἐμῷ λείαν, ubi Δήμων ἐν ά περὶ παροιμιῶν Πηλῆϊ. citatur. Dixit de his proverbiis Vaterus ib. Ποσειδάων ἔποῤ] ποσειδῶνα ἔπορσ p. 139. 140. 16. καρποῦ] Frumenti: nisi καρπῶν 2. ᾗ—σαλεύῃ] ἢ—σαλεύει A. δυσήλιον scripsit, quod conjecit Vaterus. autem scholiasta dicit quia in textu δυσάλιον legit, ut est in A., ib. περιεληλυθυίας] περὶ ἐληλυθυίας non δυσάλιος, quod cum libris deterioribus A. habet Aldus. ib. μαντευομένοις Clinton. Fast. 4. ἐπεὶ κεκωμῴδηνται— δειλοὶ L. Hell. vol. 1. p. 103. μαντευομένων Dindorfius. ἐπικεκωμωδοῦνται —δῆλοι L. Dindorfius. μαντευομένην A. A. quod etiam ἐπεὶ κωμῳδοῦνται esse 17. χρῆσαι Vaterus. χρῆσθαι A. potest. τῶν δεινῶν, ἐπειδάν τινες τῶν ἀπὸ Ἀγαμέμνονος ἐχόντων τὸ γένος πλεύσαντες εἰς Τροίαν τὰς πόλεις κτίσωσι καὶ τὰς τῶν θεῶν τιμὰς ἀναλάβωσιν, ἅς ἠφανίσθαι συνέβαινεν ὑπὸ τοῦ πολέμου. ταύτην τὴν μαντείαν παραδεξάμενον τὸν Ὀρέστην συνέβη λιπεῖν τὸν βίον. μετὰ δὲ Ὀρέστην Τισαμενὸν λαβεῖν τὴν

ἀρχὴν καὶ μετ’ ἐκεῖνον Κομήτην. οὗ χρωμένου ποῦ δέοι πλεῖν, (κατὰ γὰρ εὐλάβειαν καὶ δὶς καὶ τρὶς περὶ τῶν αὐτῶν ἐπανέρχεσθαι), ὑπὸ τοῦ θεοῦ δοθῆναι χρησμὸν, ἐπὶ τὸν ἔσχατον Μυσῶν πλεῖν. κατολιγωρήσαντας δὲ πολλῶν συνηθροισμένων τοῦ χρησμοῦ ἀφίστασθαι καὶ τὸν Κομήτην καταλιπεῖν, μικρὸν πεφροντικέναι λέγοντας αὐτοῦ τε καὶ τοῦ Μυσῶν ἐσχάτου. κατὰ τὴν ἐχομένην γενεὰν Πενθίλου πάλιν συναγείραντος τὴν στρατιὰν καὶ τοῦ θεοῦ τὸν αὐτὸν ἐπενέγκαντος χρησμὸν, διὰ τὸ παράδοξον εἰς παροιμίαν διὰ τοῦτο περιστῆναί φασιν. εἰσὶ δὲ οἳ Τηλέφῳ γενέσθαι τὸν χρησμὸν τοῦτον· μαντευομένῳ γὰρ αὐτῷ περὶ γονέων, ἐπὶ τίνας ἂν τόπους πλανηθεὶς ἐξεύροι τοὺς αὐτοῦ γονεῖς, τὸν θεὸν προστάξαι ἐλθεῖν ἐπὶ τὸν ἔσχατον Μυσῶν. ἀφικόμενον δὲ εἰς τὴν Τευθρανίαν, νέμεσθαι γὰρ τὰ χωρία ταῦτα Μυσοὺς, ἐπιτυχεῖν τῇ μητρί.

2.251 251. ὃς ἐμὰν συμμαχίαν: ὁ τὴν συμμαχίαν ἀτίζων, ὅ ἐστιν εὐτελίζων, πρὸς Μυσῶν, φησὶν, ἐστὶν ἢ ὡς εἰπεῖν ἔσχατος καὶ οὐδενὸς λόγου ἄξιος, οἷον Μυσός ἐστιν ὁ ἀτιμάζων ἡμᾶς, ὁ ἀδόκιμος παρὰ 1. ἐχόντων L. Dindorius. ἔχοντες 13. περιστῆναι correxi pro προστῆναι. A. 7. ἐπανέρχεσθαι, ὑπὸ τοῦ L. Dindorfius. ib. γενέσθαι] Intelligendum φασὶ dorfius. ἐπανέρχεται τοῦ A. ex praecedentibus. De quo dixi ib. χρησμὸν] Hoc oraculum memorant ad schol. v. 28. morant Photius et Suidas s. v. ἔσχατος 17. ταῦτα] τότε A. Correxit Vaterus p.142. ex Photio et Suida Μυσῶν. 10. Μυσῶν] μυσοῦ A. (s v. ἔσχατος Μυσῶν), ubi est, νέμεσθαι 11. ἐχομένην—Πενθίλου L. Dindorfius. σθαι γὰρ ταῦτα τὰ χωρία Μυσοὺς, ἐπιτυχεῖν ἐρχομένην—πλινθίλ A. Lac τῇ μητρὶ αὐτοῦ· τάσσεται δὲ ἡ lacunam παροιμία ἐπὶ τῶν δυσχερῆ ἐπιτασσομένων. ante Πενθίλου indicavit Vate rus p. 111. qui connjicit Ἐχέλα τοῦ 21. ὁ ἀδόκιμος] Id est ὅ ἐστιν ἀδόκιμος. ενθίλου, collato Strabone 13. p. Duas autem scholiasta proponio 582., Pausania 3, 2, 1., Plutarch ponit explicationes, priorem eorum Mor. p. 163 A. Neque enim Penthilus post ἐν αἰχμᾷ interpungerent, post Cometen superstes fuisse et recte quidem, alteram eorum qui potest. Animadvertit errorem non interpungerent. etiam Clintonus l. c. p. 103. τὴν παροιμίαν. ἢ οὕτως· ἔστι δὲ θάρσος ἄκρον καὶ ἐκ τῶν Μυσῶν πρὸς τοὺς ἀτιμάζοντας τὴν ἐμὴν συμμαχίαν καὶ εὐτελίζοντας.

2.260 260. κακόγαμβρον: οὐκ ἀκριβῶς εἴρηκεν. οὐ γὰρ Ἀγαμέμνων τῇ Ἑλένῃ γαμβρός.

2.274 274. δόρη βαστάζομεν: ἀπὸ γενικῆς τῆς δόρεος καὶ δόρεα καὶ δόρη, ὡς βέλεα βέλη.

2.282 282. ὀργάδας: ὀργάδες κυρίως οἱ ἱεροὶ τῶν θεῶν τόποι. Flor. 1. 2.

2.294 294. πρὶν δὴ δι’ ὤτων: πρὶν ἠκούσαμεν αὐτῶν τὴν βαρβαρικὴν. φωνὴν καὶ ἔγνωμεν ὅτι βάρβαροι ἦσαν.

2.303 303. πλάστιξ αὐχένα ζυγηφόρον: τινὲς τὸν ζυγόν φασι· περὶ δὲ τὸ μέσαβον συνέδησε τὸν αὐχένα τῶν ἵππων.

2.306 306. ἔλαμπε Γοργὼν δ’ ὡς: ὡς ἡ Γοργὼν ἐπεκτύπει τοῖς μετώποις τοῖς ἱππικοῖς προσδεδεμένη μετὰ κωδώνων, ψόφον ἀπὸτελοῦσα.

2.318 311. πολλὰ πελταστῶν τέλη: πέλτη ἀσπίς ἐστιν ἴτυν οὐκ ἔχουσα, καθάπερ φησὶν Ἀριστοτέλης ἐν Θεσσαλῶν πολιτείᾳ γράφων οὕτως “διελὼν δὲ τὴν πόλιν Ἀλεύας ἔταξε καὶ τὸν κλῆρον παρέχειν ἑκάστους, ἱππέας μὲν τεσσαράκοντα, ὁπλίτας δὲ ὀγδοήκοντα. ήκοντα. ἦν δὲ ἡ πέλτη ἀσπὶς ἴτυν οὐκ ἔχουσα οὐδ’ ἐπίχαλκος, αἰγὸς 5. 6. Hoc scholion est etiam in 905, 59. ἡ γὰρ πέλτη οὔτε ἴτυν ἔχει, Fl. 2., omisso utroque καί. καὶ αἰγὸς ἢ οἰὸς περιέσταλται δέρμα. 12. συνέδησε] συνέδησ... A. 18. Ἀλεόας Pflugk. ad Eurip. 13. ἐπεκτύπει Vaterus. ἐπεκτ... Alc. 498. ἀλόας A. Harpocratio s. v. Τετραρχία, Ἀριστοτέλης ἐν τῇ 14. ἀποτελοῦσα] ἀποτελοῦ... A. κοινῇ Θετταλῶν πολιτείᾳ ἐπὶ Ἀλεύα τοῦ 16. πέλτη] De pelta pluribus Πύρρου διῃρῆσθαί φησιν εἰς δ̄ μοίρας τὴν dixit Vaterus p. 156. qui partem Θετταλίαν. loci Aristotelici apud scholiastam ib.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ] κατὰ Pflugkius. Platonis exstare monet ad Leg. 7. 19. Post ὁπλίτας δὲ ὀγδοήκοντα excidit p. 813. πέλτη ἐστὶν εἶδος ἀσπίδος, ὥς cidit cetratorum numerus, nisi forte φησιν Ἀριστοτέλης, ἥτις ἴτυν οὐκ ἔχει οὐδ' scripsit Aristoteles ὁπλίτας δὲ ὀγδοήκοντα ἐστὶν ἐπίχαλκος, οὐδὲ βοὸς, ἀλλ̓ αἰγὸς δέρματι πελταστάς vel simile, siquidem περιτεταμένη. et non nominato dem cetrati nonnunquam hoplitis Aristotele apud Photium, πελτασταί: annumerantur. v. Achill. Tat. 3 οἱ πέλτας ἔχοντες στρατιῶται. 13. VATER. p. 157. ὁπλίτας in πελταστάς πέλτη δὲ εἶδος ἀσπίδος οὐκ ἐχούσης ἴτυν, ταστάς mutat Pflugkius. οὐδ' ἐπίχαλκον (ἐπίχαλκος Vaterus), 20. οὐδ' addidi e locis grammaticorum οὐδὲ βοὸς, ἀλλ' αἰγὸς δέρμα περιτεταμένη. corum supra allatis. Brevius et plenius Aristotelis ib. αἰγὸς] Scribendum saltem αἰγὸς locum exhibet Eustath. ad Il. p. γὸς δὲ, nisi Aristoteles scripsit ut est δέρματι περιτεταμένη, καὶ ἄκοντα ἢ μικρὸν δόρυ πάντες ἐφόρουν, ὃ σχέδιον ἐκαλεῖτο." .

2.318 318. ἕρπει κατάντης: κατῆι οὐ ταλαιπορ καὶ εὐπετλ ὡσανεὶ ἔλεγεν, οὐ προσάντης οὐδὲ δύσβατος.

2.322 322. ἡνίκ' ἐξώστης Ἄρης: ἀπὸ μεταφορᾶς τῶν ἀνέμων τῶν ἐξωθούντων τὰ σκάφη· λέγει δὲ οὕτως τὸ βίαιον. τινὲς δὲ ἐξώστης ἀντὶ τοῦ πρὸ τοῦ ἄστεος καθήμενος.

2.329 329. σύ τ' εὖ παραινεῖς: ἐπεὶ καλῶς παρῄνεσεν ὁ ἄγγελος τὸν Ῥῆσον εἰς συμμαχίαν δέχεσθαι, λοιπὸν ἥξει.

2.342 342. Ἀδράστεια μέν: ἰδικῶς τὴν Ἀδράστειαν Διός φησι παῖδα, ἄλλων τροφὸν τοῦ Διὸς φασκόντων. ἔστι δὲ καὶ ἐν τῇ Καρία Ἀδραστείας πεδίον ἀπὸ Ἀδράστου τοῦ βασιλέως, ἀφ' οὗ καὶ ὁ δαίμων. ἄλλοι δὲ Μελισσέως μὲν τοῦ Κρητὸς, ἀδελφὴν Κυνοσούρας, Διὸς τροφόν. Καλλίμαχος "σὲ δ' ἐκοίμισεν Ἀδρήστεια λίκνῳ ἐνὶ χρυσέῳ." ἔνιοι ἑτέραν μὲν Ἀδράστειάν φασιν, ἑτέραν δὲ Νέμεσιν· οἱ μὲν Ὠκεανοῦ φασιν εἶναι θυγατέρα, οἱ δὲ Διὸς καὶ Δήμητρος, γεννηθῆναι δὲ ἐν Ῥαμνοῦντι τῆς Ἀττικῆς. —μὴ φθονήσειεν ἡ Ἀδράστεια ἐπὶ τοῖς λεχθεῖσι περὶ τοῦ Ἕκτορος ἢ ἐπὶ τοῖς μέλλουσι λεχθῆναι, ὃ καὶ ἄμεινον.

2.351 347. ἥκεις ὦ ποταμοῦ παῖ: οὐκ εἴρηκε τίνος Μουσῶν ὁ Ῥῆσος εἴη παῖς. Κλειοῦς μέντοι λέγουσιν αὐτὸν εἶναι, καθάπερ Μαρσύας ὁ νεώτερος ἐν τοῖς Μακεδονικοῖς τῶν κακοβρῖ γράφων οὕτως "εἰσὶ δὲ οἳ καὶ περὶ τούτου εἶπον τοῦτο· Κλειὼ τὴν θεὸν ὑπὸ τοῦ apud scholiastam Platonis, οὐδὲ βοὸς, tatio inepta. ἀλλ' αἰγὸς —, quod probabilius. 10. Ἀδράστεια] ἀδράστια A. et 1. ἄκοντα Pflugkius. τριακόντα A. infra ἀδραστία, ἀδραστίας et ἀδραστίαν. ex quo Muellerus in Fragm. Hist. vol. 4. 9. 656. τρία ἄκοντα fecit. 14. Καλλίμαχος] Hymno in Jovem ib. μικρὸν Pflugkius. μακρὸν A. 47. Σχέδιον δόρυ Hesychius exp. ὃ ἀκοντί. ib. Ἀδρήστεια] ἀδραστία A. ἐκ τοῦ σύνεγγυς. et σχέδια, ὅπλα 22. ἐν τοῖς Μακεδονικοῖς Hermannus τὰ ἐκ χειρὸς τιτρώσκοντα. Fuit igitur Opusc. vol. 5. p. 190. ἐν τ~... non μακρὸν, sed μικρὸν δόρυ. οἰκοδομ~.. A. 3. 4. Verborum corruptorum ib. ... τῶν κακοβρῖ] περὶ τῶν κακομόρων sensus esse videtur, fortunam adjuvare μόρων Hermannus parum probabili. non miseros (ταλαιπώρους) et ter. περὶ τῶν κατὰ Ῥῆσον Muellerus debiles (εὐτελεῖς), sed felices. VATER. in Appendice ad Arrian. ed. Duebner. p. 157. p. 45. 6. τινὲς δὲ—καθήμενος] Interpretatio 23. τοῦτο Hermannus. τοῦτον A. Στρυμόνος ἐκ τοῦ χοροῦ τῶν Μουσῶν νυμφευθῆναι τεκνῶσαί τε τὸν Ῥῆσον." καὶ μετ' ὀλίγον "ἔστιν ἱερὸν τῆς Κλειοῦς ἐν Ἀμφιπόλει ἱδρυθὲν ἀπέναντι τοῦ Ῥήσου μνημείου ἐπὶ λόφου τινός." ἔνιοι δὲ Εὐτέρπης αὐτὸν γενεαλογοῦσι, καθάπερ Ἡράκλειτος. φησὶ δέ· "ἑβδόμη δὲ Καλλιόπη ποίησιν εὗρε ποιημάτων, καὶ συνοικήσασα Οἰάγρῳ γεννᾷ Ὀρφέα, τὸν πάντων μέγιστον ἀνθρώπων ἐν τῇ κιθαρῳδικῇ τέχνῃ γενόμενον, πρὸς δὲ καὶ τῆς ἐγκυκλίου μαθήσεως συγκρεματικώτατον· ὀγδόη δ' Εὐτέρπη, ἣ τὴν κατ' αὐλοῦ εὗρεν εὐέπειαν, συνοικήσασα Στρυμόνι ἐντεκνοῖ Ῥῆσον, ὃς ὑπὸ Ὀδυσσέως καὶ Διομήδους ἀναιρεῖται." οἷς καὶ Ἀπολλόδωρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπηκολούθησε γράφων οὕτως “τὰς μὲν Μούσας οἱ μὲν πλεῖστοι παρθένους παραδεδώκασι· γράφεται δὲ εἶναι Οὐρανίας μὲν Λίνον, Καλλιόπης δὲ Ὀρφέα, Μελπομένης δὲ Θάμυριν, Εὐτέρπης δὲ Ῥῆσον, Τερψιχόρης δὲ Σειρῆνας, Κλειοῦς δὲ Ὑμέναιον, τῶν δὲ λοιπῶν Θαλείας Παλαίφατον, ἐκ δὲ Πολυμνίας Τριπτόλεμον· Ἐρατὼ δὲ ἐρασθῆναι μὲν Ὑακίνθου, τελευτήσαντος δὲ αὐτοῦ μηδένα μηδ’ υἱὸν γενέσθαι αὐτῶν.” .

2.351 351. μελῳδοῦ Μούσας: τὸ ὄνομα τῆς Μούσης οὐκ εἴρηκε, φησὶ δὲ ὅτι διαβαίνουσαν διὰ τοῦ Στρυμόνος ὁ ποταμὸς ἔγκυον ἐποίησε. μήποτε δὲ ἐπ τὴν ἱστορίαν.

2.356 356. βαλιαῖσιν: οὐ κυρίως νῦν τῇ λέξει κέχρηται, λευκὰς γὰρ εἶχεν, ὡς καὶ ἀνωτέρω αὐτὰς ἔφη. δύναται δὲ ἀντὶ τοῦ ταχείαις.

2.360 360. ἆρά ποτ’ αὖθις: ἆρά ποτε, φησὶν, ὑποστρεψάντων τῶν Ἑλλήνων ἡμεῖς μετὰ εὐφροσύνης διάξομεν καὶ δι’ ὅλης ἡμέρας ἄξει καὶ τελέσει ἡ πόλις τοὺς ἐν τοῖς συμποσίοις χοροὺς ταῖς τῶν κυλίκων φιλονεικίαις. λέγει δὲ τὰς προπόσεις ἀπὸ τῆς συνεκδοχῆς· οἰνοπλανήτοις δὲ ταῖς διὰ τοῦ οἴνου παραγούσαις τὸν νοῦν.

2.364 364. ὑποδεξίαις: ὑποδεκτικαῖς, ἀπὸ τοῦ κύλικος. λέγει δὲ τὰς προπόσεις ἀπὸ τῆς συνεκδοχῆς. ἁμίλλαις: φιλονεικίαις κυλίκων, οἷον πόσεων. οἰνοπλανήτοις ταῖς διὰ τοῦ οἴνου παραγούσαις τὸν νοῦν.

2.372 372. δοχμίαν: πλαγίαν μετεωρίζων τὴν πέλτην παρὰ τὴν σχιστὴν αὐτῆς περιφέρειαν.

2.373 373. σχιστὰν παῤ ἄντυγα ὃ σχιστὴν λέγει παρόσον οἱ πυρριχίζοντες διαβαίνουσιν, ἢ ὅτι ἡ πέλτη τετράγωνός ἐστιν ἐξοχὰς ἔχουσα.

2.379 379. φίλτατον ἄχθος οἴσει: ἡδὺ γὰρ αὐτῇ τοὺς πολεμίους παθεῖν.

2.381 381. ταῦτα πρὸς τὸν Ῥῆσον ἀποστρέψαντες λέγουσιν “ω μέγα βασιλεῦ,” ὁρῶντες δὲ αὐτόν.

2.384 384. κωδωνοκρότους: ἐν γὰρ τοῖς πόρπαξιν εἶχον κώδωνας.

2.393 393. παῖ τῆς μελῳδοῦ μητέρος: οἱ μὲν Κλειοῦς, οἱ δὲ Εὐτέρπης. Ὅμηρος δὲ Ἠϊνέως φησίν ἐν δέ σφι Ῥῆσος βασιλεῦς, παῖς Ἠϊονῆος.

2.397 397. τοὐπὶ σ’: κατὰ τὸ σὸν μέρος.

2.405 405. Ἕλλησιν ἡμᾶς: ὅσον ἦν ἐπὶ σοὶ προδέδωκας ἡμᾶς καὶ εἴασας. λείπει ἡ κατά, κατὰ τὸ σὸν μέρος.

2.417 417. ψυχρὰν ἄησιν: τὸν χειμῶνα. τοῦ εἶναι αὐτοὺς εὔνους ἡμῖν ἀπόδειξίς ἐστι τὸ κεῖσθαι αὐτοὺς ἐν τῇ πόλει καὶ ταφῆναι.

2.419 419. ἄμυστιν: οἱ μὲν ποτηρίου εἶδος ἐπιτηδειότητα ἔχον πρὸς τὰς ἀμυστὶ πόσεις, ὡς ἐν Αὔγῃ σὺν τῷ βαθείας καὶ πυκνὰς ἕλκουσι τὰς ἀμύστιδας. ἄλλοι δὲ ἐπὶ τῆς ἀπνευστὶ σπάσεως τάττουσι τὸ ὄνομα, ὡς Κρατῖνος ἀλλ’ οὖν θεῷ σπείσαντ’ ἄμυστιν δεῖ πιεῖν.

2.427 427. μέλλοντι νόστον: ὅτι νόστον ἁπλῶς τὴν ὁδὸν καὶ τὸν πλοῦν ἡ ἔφη. καὶ γὰρ ἔπλευσε καὶ ἐπέζευσεν, ὡς ἑξῆς ἐρεῖ, οὐ μόνον τὴν εἰς τὴν πατρίδα ὑποστροφήν.

2.440 430. ἔνθ’ αἱματηρός: ὡς πέμμα ξηρανθὲν τὸ αἷμα τοῦ φόνου. ἀκύρως δὲ κέχρηται τῷ πέλανος, ἄμεινον δὲ ἑτέρωθι εἶπεν ἀφρώδη πέλανον διὰ τὴν λευκότητα. οὕτως γὰρ ἔλεγον πελάνους τὰ πόπανα ἀπὸ τοῦ πεπλατύνθαι, ἢ ἀπὸ τῆς παιπάλης· ἀπὸ γὰρ τοῦ λεπτοτάτου κατασκευάζονται· καὶ Ὅμηρος τὸ λευκᾶναι παλῦναι “ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας.” .

2.440 440. φυσήματα: πνεύματα. Fl. 2.

2.442 442. πορπήμασιν: ἐνδύμασιν. Fl. 2.

2.446 446. κυβεύων: ἀνωμάλως διατιθέμενος, ἐκ μεταφορᾶς τῆς κύβης. Fl.

2.469 469. ἀποινάσαιο: εἰσπράξαιο, τιμωρήσαιο.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.474 474. εἰ τοῦ παρόντος: πολλὰ ἂν εὐχαριστήσαιμι τοῖς θεοῖς, εἰ τοῦ παρόντος ἀπαλλαγεὶς κακοῦ τὴν παλαιὰν λάβοιμι κατάστασιν.

2.481 480. οὐ τούσδ' ἀριστέας: ἐν ἐρωτήσει τοῦτο προενεκτέον· οὐχ οὗτοί εἰσιν οἱ ἄριστοι τῶν Ἑλλήνων οἱ ἐνταῦθα ἐλθόντες; .

2.481 481. κοὐ μεμφόμεσθά γ': καὶ οὐκ ἐκφαυλίζομεν αὐτοὺς, ἀλλὰ πάντα κινοῦμεν πρὸς τὸ ἀποστῆσαι αὐτοὺς, ὅμως ἐλαύνομεν αὐτοὺς καὶ πολεμοῦμεν. ἡ δὲ καλὴ ἐξήγησις αὕτη· καὶ οὐκ ἐκφαυλίζομεν αὐτοὺς, ἀλλὰ πάνυ κάμνομεν καὶ ἄγαν ἐμφορούμεθα τοῦ κόπου μαχόμενοι αὐτοῖς· καὶ Ὅμηρος ἀλλ̓ ἔτι μέν μίν φημι ἅδην ἐλάαν κακότητος, ὅ ἐστιν ἐμφορηθῆναι.

2.482 482. οὐκοῦν κτανόντες: εἰ οὖν τοὺς ἀρίστους αὐτῶν ἀναιρήσομεν, πάντα διεπραξάμεθα· ῥᾴδιον γὰρ καὶ τὸ Ἄργος πορθῆσαι τούτων ἀπολλυμένων.

2.483 483. ἀρκεῖν ἔοικεν: ἀντὶ τοῦ παραιτῇ τὸ παθεῖν, δρᾶσαι δὲ οὔ. ἀντὶ τοῦ ἡδέως εἶχες καὶ τοῦ πρᾶξαι, εἰ μὴ ηὐλαβοῦ τὸ παθεῖν. πρὸς ὃν Ἕκτωρ “ναὶ” φησὶ “παραιτοῦμαι τὸ παθεῖν, πολλῆς γὰρ ἄρχω τυραννίδος,” οἷον τὰ ἐνταῦθα ἀρκεῖ μοι. Ἄλλως. οἷον τὸ παθεῖν παραιτῇ, πρᾶξαι δέ τι οὐ παραιτῇ.

2.485 485. ἀλλ' εἴτε λαιόν: ἐν οἵῳ, φησὶ, βούλει μέρει τῆς παρατάξεως ἔξεστί σοι τὰς πέλτας, τουτέστιν τοὺς σοὺς ὑπηκόους, στῆσαι.

2.494 494. ἀλλὰ μηνίων: μηνίων. τινές φασιν ὅτι οὐ δύναται ὑφ' ἓν εἶναι μηνίων ἀντὶ τοῦ ὀργιζόμενος, ἐπεὶ τὰ εἰς ω καθαρὸν λήγοντα ὑπὲρ δύο συλλαβὰς ἐκτείνει τὸ ἰῶτα. ἔστι δὲ παῤ Ὁμήρῳ συστολὴ αὐτοῦ· αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος. διὸ καὶ οὕτως ἀναγνῶναι οὐδὲν κωλύει τῆς χρήσεως ἐχούσης.

2.499 499. κρότημ' Ὀδυσσεύς: οἷον συγκρότημα, μηχάνημα καὶ ἱκανῶς τὸ φρόνημα θρασύς.

2.502 502. κλέψας ἄγαλμα: παρὰ τοὺς χρόνους· ὕστερον γὰρ τούτων τὸ Παλλάδιον ἔκλεψε· μέμνηται δὲ αὐτοῦ Ὅμηρος θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν.

2.508 508. Θυμβραῖον ἀμφὶ βωμόν: παρὰ τὴν ἱστορίαν. ὁ γοῦν Διονυσόδωρος ἐν τοῖς παρὰ τοῖς τραγῳδοῖς ἡμαρτημένοις φησὶν οὕτως “ὁ δὲ Εὐριπίδης τὸ τοῦ Ἀπόλλωνος ἄλσος τοῦ Θυμβραίου στάδια πεντήκοντα ἀπέχον τῆς πόλεως πλησίον τῶν πυλῶν εἶναί φησι.” δύναται δὲ καὶ στίζεσθαι εἰς τὸ βωμόν, ἢ ἄστεος πέλας. οὐδὲν γὰρ τὸ κωλῦον.

2.509 509. κακῷ δὲ μερμέρῳ: μήποτε πρὸς τὸ χεῖρον μετέστραπται ἀπὸ τοῦ Τερμέρου, ἵν' ᾖ παρὰ τὴν παροιμίαν “Τερμέρια κακά,” ὑπὲρ ὧν Φίλιππος ἐν τῷ περὶ Καρῶν συγγράμματί φησιν οὕτως· Τέρμερον καὶ Λύκον Λέλεγας γενέσθαι θηριώδεις τὴν φύσιν. τοῦτον δὲ τὸν Τέρμερον πόλιν οἰκίσαι, ἣν δὴ ἀπ' αὐτοῦ Τέρμερον ὠνομάσθαι. τούτους 2. Ὅμηρος] Il. 6, 92. Cobetus. Numerum stadiorum ex 4. Διονυσόδωρον] Dionysodorum Strabone restituerat L. Dindorfius, Alexandrinum, memoratum ab στάδιον in στάδια ν́mutato. schol. Hom. Il. 2, 111. intelligit 8. δύναται δὲ addidit L. Dindorfius. Vaterus p. vii. Liber quo τὰ παρὰ τοῖς τραγῳδοῖς ἡμαρτημένα tractavit ib. τὸ βωμὸν Cobetus. τὸν βωμὸν aliunde non cognitus. Immerito A. “Voluit scholiasta plenius autem, ut monet Vaterus p. 192., distingui post βωμόν, et deinde Euripidem vituperavit Dionysodorus aut ἢ ἄστεος πέλας scribi, aut ἢ novam Ilium cum vetere confundens, subaudiri saltem, qua distinctione ut apparet ex verbis Strabonis sane refutasset Dionysodorum, si 13. 9. 598. τό τε “πρὸς Θύμβρης opus esset conjecturis.” VATER. δ' ἔλαχον Λύκιοι· (II. 10, 430.) p. 193. οἰκειότερόν ἐστι τῷ παλαιῷ κτίσματι 9. κωλῦον] κωλύον A. (Trojae)· πλησίον γάρ ἐστι τὸ πεδίον ἡ 10. μήποτε—] Inepte scholiasta Θύμβρα καὶ ὁ δι' αὐτοῦ ῥέων ποταμὸς vocem μέρμερον ob Termerum, a Θύμβριος, ἐμβάλλων εἰς τὸν Σκάμανδρον quo proverbium Τερμέρια κακὰ derivatur, κατὰ τὸ Θυμβραίου Ἀπόλλωνος rivatur, in malam

Eulogikon public reading copy · View original HTML at eulogikon.org

partem cessisse ἱερόν· τοῦ δὲ νῦν Ἰλίου καὶ πεντήκοντα suspicatur. Notavit Vaterus, quem σταδίους διέχει. Decem stadia computantur v. 9. 194. apud Hesych. Θύμβρα· 11. ὑπὲρ] περὶ Vaterus. τόπος τῆς Ἰλίου, περὶ τὸν Θύμβριον (θύμβρον 12. Φίλιππος] Philippum dicit codex) λεγόμενον ποταμὸν, οὕτως Theangelensem, cujus inter Καρικῶν ὀνομασθέντα — —, τῆς ἀρχαίας πόλεως κῶν fragmenta hunc locum posuit ἀπέχοντα σταδίους δέκα, ὅπου γε καὶ Muellerus vol. 4. 9. 475. ἱερὸν Ἀπόλλωνος Θυμβραίου. 13. τοῦτον] τούτων Vaterus p. 6. στάδια —πυλῶν] στάδιον ἀπέχει 194. τῆς πλ μετὰ τῶν πυλῶν A. Correxit δέ φασι πρώτους λῃστεῦσαι καὶ οὐ μόνον τὰ περὶ Καρίαν, ἀλλὰ καὶ σχεδίας ἐκ ῥιπῶν ποιήσαντας εἰς Κῶ ἐκπλεῖν.

2.521 521. ξύνθημα δ’ ἡμῖν Φοῖβος: σημεῖον τοῦ μὴ ξένους καὶ πολεμίους εἶναι δίδωσιν αὐτῷ τὸ ὄνομα λέγειν τοῦ Φοίβου.

2.529 529. τοῦ σκορπίου. Gl.

2.540 540. Κίλικας Παίων: οἱ μὲν τοὺς Κίλικας καὶ τοὺς Παίονας τοὺς αὐτοὺς ἤκουσαν. Ἀρίσταρχος δὲ Κόροιβον Παιόνων ἡγεμόνα 4. ἐκ τοῦ ὑποτμήματος εἰς τὸν ὑπερορίζοντα dicitur ab Suida s. v. Ἄρατος, Verba corrupta. ἐκ τοῦ intelligit Vaterus p. 200. ὑπὸ γῆν (vel τὴν γῆν) τμήματος ὑπὲρ ib. ἥλιον hic et paullo post in A. τὸν ὁρίζοντα L. Dindorfius in Thesauro usitata nota tachvgraphica scriptum, sauro vol. 8. p. 456. qua modo ἥλιος modo Ἀπόλλων 6. φικνούμεναι] ἀφικνούμενα A. significatur: v. Bast. Comm. paleogr. 8. ὥρας] φρουρᾶς Vaterus p. 200., leogr. p. 834. collato quod scholiasta supra dixit 18. γρ. τὰ προεκκείμενα] Significant τὰ πρῶτα σημεῖα τῆς φυλακῆς φησι cant ea verba: γράφε τὰ προεκκείμενα, ὥρας defendit Idelerus apud huc inserenda esse quae supra Veterum, monens signiferum in alieno loco essent apposita et pertinent duodecim signa (ζῴδια) sive viginti ad codicem, quem librarius quattuor horas dividi. describebat. COBET. 10. φυλακῆς] πέμπτης φυλακῆς Va. 20. Παίων—Παίονας] παιὼν—παιόνας A. 12. ἐσθίων (vel κείρων) addendum 21. τοὺς ante αὐτοὺς addidit Vaterus. esse vidit Cobetus. 13. Μενεκράτη] Menecratem Ephesium, ib. Κόροιβον Παιόνων ἡγεμόνα] Rephesium, qui Arati Solensis magister cessit in hoc Euripides ab Homero καὶ τὴν φυλακὴν ποτὲ μὲν ἀπὸ τοῦ ἡγεμόνος, ποτὲ δὲ ἀπὸ τῶν ὑπηκόων.

2.541 541. Μυσοὶ δ’ ἡμᾶς: ὡς Μυσῶν διαδεχομένων Κίλικας. Κίλικες γὰρ μετὰ Παίονας, εἶτα Μυσοὶ, εἶτα Τρῶες, εἶτα πέμπτοι Λύκιοι.

2.547 547. κοίτας φονίας: διὰ τὰ τολμηθέντα ἐπὶ τῷ Ἰτύλῳ· λείπει δὲ τὸ ὡς, ὡς ἐπὶ τοῦ Σιμόεντος ὑμνεῖ τὴν μίξιν, ἀίω. γράφεται καὶ θρηνεῖ καὶ ἔξωθεν λαμβάνεται ἡ ἐπί καὶ τὸ ὡς, ὡς ἐπὶ τοῦ Σιμόεντος ἑζομένη θρηνεῖ τὰς φονίας κοίτας ἡ ἀηδών.

2.550 550. μελοποιὸς ἀηδονίς: λέγεται γὰρ ἡ Πρόκνη μετὰ τὸ κρεανομεῖσθαι Ἴτυν τὸν υἱὸν διὰ τὴν λύπην μεταβληθῆναι εἰς ὄρνιν· καὶ ἡ μὲν Πρόκνη εἰς ἀηδόνα μετεβλήθη, ὡς καὶ ἡ Φιλομήλα εἰς χελιδόνα.

2.674 674. σκηπτοῦ πιόντος: πρὸς τὰ ναύσταθμα αἰφνιδίου κεραυνοῦ σφοδροῦ ἐπελθόντος.

2.675 675. ἔα ἔα: ὁ χορὸς λέγει αἴσθησιν λαβὼν τῶν γεγονότων.

2.631 631. ἀλλὰ συμμάχους: ἀλλὰ δεινὸν, φησὶ, τοὺς συμμάχους ταράττειν νυκτὸς οὔσης.

2.711 711. ὕπαφρον] ὕπαφρος ὁ μὴ φανερὸς, ἐκ μεταφορᾶς τῶν ὑπ’ ἀφρὸν νηχομένων, ἢ τῶν ὑφάλων πετρῶν αἷς ἐπανθεῖ ἀφρός· ἢ ὁ καταπληκτικὸς, ὁ μανικός. Fl. 2.

2.715 715. βίον δ’ ἐπαιτῶν: τροφὴν αἰτῶν.

2.716 716. ψαφαρόχρουν: τὸ χ ὅτι φαλακρὸν αὐτόν φησιν.

2.724 724. δυσοίζων: βλασφημῶν ἢ ὀργιζόμενος καὶ λοιδορῶν.

2.741 741. διόπων στρατιᾶς: τῶν φροντιστῶν καὶ ἐπιστατῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2.766 766. πλῆκτρα: αἱ μάστιγες.

2.769 769. φαύλως: ἁπλῶς, ὡς ἔτυχεν.

2.785 785. αἱ δ’ ἔρεγχον: ἐκ τῶν μυκτήρων ποιὸν ἦχον ἀπετέλουν.

2.789 789. μυχθισμὸν νεκρῶν: ποιὸν ἦχον καὶ στεναγμὸν μετὰ πνοῆς γενόμενον.

2.790 790. τὸ ἑξῆς, θερμὸς δὲ κρουνὸς αἵματος νέου δεσπότου παρὰ σφαγαῖς δυσθνήσκοντος βάλλει με.

2.817 817. μαράγνα] οὕτως παροξύνει ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου. δηλοῖ δὲ τὴν μάστιγα. ἤτοι μαστίγων πλήγμασιν, ἢ τῷ καρατομηθῆναι. Fl. 2.

2.825 825. ἔβριξα: βρίξαι κυρίως τὸ μετὰ βορὰν ὀλίγον κοιμηθῆναι. Fl.2.

2.855 852. τίς δ’ ἂν χαμεύνας: τὸ ἑξῆς, τίς ἂν κατ’ εὐφρόνην τῶν πολεμίων μολὼν Ῥήσου χαμεύνας ἐξεῦρενς; .

2.855 855. ᾖσαν: ᾔδεισαν, ἐγίνωσκον.

2.859 859. ἐν σοὶ δ’ ἂν ἀρχοίμεσθα: ἀρχὴν ἔχομεν τοῦ κακολογεῖσθαι πρῶτον ὑπὸ σοῦ, ἢ σὺ ἡμᾶς πρῶτον ἤρξω κακηγορεῖν.

2.873 873. αὐθεντῶν: τῶν Τρώων· αὐτοὺς γὰρ ἐδόκει τοῦ Ῥήσου φονεῖς γενέσθαι. Fl. 2.

2.895 895. ἰαλέμῳ αὐθιγενεῖ: τῷ εὐθὺς γενομένῳ θρήνῳ. Gl. καὶ Ἀσκληπιάδης ἐν τοῖς τραγῳδουμένοις πλείους τῆς Καλλιόπης λέγει παῖδας ἐν τουτ... Καλλιόπῃ γὰρ τὸν Ἀπόλλωνα μιχθέντα γεννῆσαι Λίνον τὸν πρεσβύτατον καὶ τρεῖς μετ’ ἐκεῖνον, Ὑμέναιον, Ἰάλεμον, Ὀρφέα· τῷ δὲ νεωτάτῳ τὴν μὲν ἐπιθυμίαν ευμάτων 4. Hoc scholionetiam in Fl. 1. 2. 21. ἐν τοῖς τραγῳδουμένοις πλείους] 5. Interpretatio ποιὸν στεναγμὸν ἐν τ~... περὶ δουλ... πλείους A. Correxit est etiam in Fl. 1. 2. rexit Hermannus Opusc. vol. 5. 7. παρὰ σφαγαῖς] παρασφαγαῖς A. p. 192. collato schol. Pindari Pyth. 9. Ἡρωδιανὸς] Non legitur haec 4, 313. καὶ Ἀσκληπιάδης ἐν ἕκτῳ τραγῳδουμένων notatio in Arcadii Epitome p. 96, γῳδουμένων ἱστορεῖ Ἀπόλλωνος καὶ Καλλιόπης 22. ubi de nominibus in να agitur. λιόπης Ὑμέναιον, Ἰάλεμον, Ὀρφέα. Cf. 12. κυρίως addidi ex Harl. qui κυρίον. etiam schol. Apoll. Rh. 1, 23. 13. τίς δ’ ἂν] τίς δ’ αὖ A. 22. ἐν τουτ...] Non satisfacit 14. χαμεύνας ἐξεῦρεν Vaterus. χαμευν... Vateri correctio ἐν τούτοις. μευν...εῦρεν A. ib. γεννῆσαι Λίνον τὸν πρεσβύτατον] 15. In Fl. 2. est gl. ἠπίσταντο. γεν... λιν... τὸν πρεσβύτερον A. 16. ἀρχὴν ἔχομεν τοῦ—ὑπὸ σοῦ, ἡ Correxit Hermannus. σὺ Vaterus. ἀρχὴν... τοῦ—ὑπὸ...σὺ 23. Ἰάλεμον addidit Hermanus. In A. lacuna. 17. κακηγορεῖν] κατηροπ... A. 24. νεωτάτῳ Hermannus. νεωτέρῳ ἐμπεσεῖν. καὶ περὶ τὴν μουσικὴν πάντων, οὐ μὴν τοιοῦτό γε πάθος γενέσθαι. Ἄλλως. ἰαλέμῳ: φασὶ τὸν ἰάλεμον παρωνομάσθαι ἐπὶ τιμῇ Ἰαλέμου τοῦ Ἀπόλλωνος καὶ Καλλιόπης, ὥς φησι Πίνδαρος, ἔντι μὲν χρυσαλακάτου τεκέων Λατοῦς, ἀοιδαὶ ὥριαι παιανίδες· ἔντι ελλοντες ἐκισῦ στέφανον ἐκ διο αιόμεναι· τὸ δὲ κοιμίσαν τρ σώματ’ ἀποφθιμένων, ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὕμνει, δ’ Ὑμέναιον, ὃν ἐν γάμοισι χροΐζόμενον σὺμ πρῶτον λάβεν ἐσχάτοις ὕμνοισιν, ἁ δ’ Ἰάλεμον ὠμοβόρῳ νούσῳ πεδαθέντα σθένος υἱὸν Οἰάγρου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org